σὺν ποικίλοις ὄμμασί τε φαιδροῖς, αἱ πρὶν κατηφεῖς ἀλλήλους ἐνέβλεπον· χορεῖαι δ' αὐτοῖς καὶ ὕμνοι κατὰ πόλεις ὁμοῦ καὶ ἀγροὺς, τὸν παμβασιλέα θεὸν πρῶτα πάντων ὅτι δὴ τοῦτ' ἐδιδάχθησαν· κἄπειτα τὸν εὐσεβῆ βασιλέα παισὶν ἅμα θεοφιλέσιν ἐγέραιρον· κακῶν δ' ἀμνηστία παλαιῶν ἦν καὶ λήθη πάσης δυσσεβείας· παρόντων δ' ἀγαθῶν ἀπόλαυσις· καὶ προσέτι μελλόντων προσδοκία· ἥπλωντο δῆτα κατὰ πάντα τόπον τοῦ νικητοῦ βασιλέως φιλανθρωπίας ἔμπλεῳ διατάξεις· νόμοι τε μεγαλοδωρεᾶς καὶ ἀληθοῦς εὐσεβείας γνωρίσματα περιέχοντες· οὕτω δῆτα πάσης τυραννίδος ἐκκαθαρθείσης, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας, βέβαια καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ τοῖς αὐτοῦ παισίν· οἳ τὴν πρόσθεν πάντων ἀποσμήξαντες τὴν θεοστυγίαν τοῦ βίου τῶν ἐκ θεοῦ πρυτανευθέντων αὐτοῖς ἠσθημένως, τὸ φιλάρετον καὶ θεοφιλές, τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον· δι' ὧν εἰς προὖπτον ἅπασιν ἀνθρώποις παρέσχον πράξεων ἐπεδείξαντο:+

ωκράτους σχολαστικοῦ ἐκκλησιαστικῆς ἱστορίας, τόμος πρῶτος:

οῦ αὐτοῦ Σωκράτους ἐκκλησιαστικῆς ἱστορίας, τόμος δεύτερος:

ου αὐτοῦ Σωκράτους ἐκκλησιαστικῆς ἱστορίας, τόμος τρίτος:

οῦ αὐτοῦ Σωκράτους ἐκκλησιαστικῆς ἱστορίας, τόμος τέταρτος:

οῦ αὐτοῦ Σωκράτους ἐκκλησιαστικῆς ἱστορίας, τόμος πέμπτος:

οῦ αὐτοῦ Σωκράτους ἐκκλησιαστικῆς ἱστορίας, τόμος ἕκτος:

οῦ αὐτοῦ Σωκράτους ἐκκλησιαστικῆς ἱστορίας, τόμος ἕβδομος:

υσέβιος ὁ Παμφίλου ἐν ὅλοις δέκα βιβλίοις τὴν ἐκκλησιαστικὴν ἱστορίαν ἐκθέμενος, κατέπαυσεν εἰς τοὺς χρόνους τοῦ βασιλέως Κωνσταντίνου· ἐν οἷς καὶ ὁ παρ' αὐτοῦ Διοκλητιανοῦ κατὰ Χριστιανῶν γενόμενος διωγμὸς ἀπεπαύσατο· γράφων δὲ ὁ αὐτὸς εἰς τὸν βίον Κωνσταντίνου, τῶν κατὰ Ἄρειον μερικῶς μνήμην πεποίηται· τῶν ἐπαίνων τοῦ βασιλέως καὶ τῆς πανηγυρικῆς ὑψηγορίας τῶν λόγων μᾶλλον ὡς ἐν ἐγκωμίῳ φροντίσας, ἢ περὶ τοῦ ἀκριβῶς περιλαβεῖν τὰ γενόμενα· ἡμεῖς δὲ προθέμενοι συγγράψαι τὰ ἐξ ἐκείνου